ἑαυτοῖς εἰς τὴν ὁδόν. [40]ἡ δὲ κατοίκησις τῶν υἱῶν Ισραηλ, ἣν 40
κατῴκησαν ἐν γῇ Αἰγύπτῳ καὶ ἐν γῇ Χανααν, ἔτη τετρακόσια τριά-
κοντα, [41]καὶ ἐγένετο μετὰ τὰ τετρακόσια τριάκοντα ἔτη ἐξῆλθεν 41
πᾶσα ἡ δύναμις κυρίου ἐκ γῆς Αἰγύπτου. [42]νυκτὸς προφυλακή ἐστιν 42
τῷ κυρίῳ ὥστε ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου· ἐκείνη ἡ νὺξ
αὕτη προφυλακὴ κυρίῳ ὥστε πᾶσι τοῖς υἱοῖς Ισραηλ εἶναι εἰς
γενεὰς αὐτῶν.

[43]Εἶπεν δὲ κύριος πρὸς Μωυσῆν καὶ Ααρων λέγων Οὗτος ὁ 43
νόμος τοῦ πασχα· πᾶς ἀλλογενὴς οὐκ ἔδεται ἀπ' αὐτοῦ· [44]καὶ πᾶν 44
οἰκέτην τινὸς ἢ ἀργυρώνητον περιτεμεῖς αὐτόν, καὶ τότε φάγεται
ἀπ' αὐτοῦ· [45]πάροικος ἢ μισθωτὸς οὐκ ἔδεται ἀπ' αὐτοῦ. [46]ἐν οἰκίᾳ 45 46
μιᾷ βρωθήσεται, καὶ οὐκ ἐξοίσετε ἐκ τῆς οἰκίας τῶν κρεῶν ἔξω·
καὶ ὀστοῦν οὐ συντρίψετε ἀπ' αὐτοῦ. [47]πᾶσα συναγωγὴ υἱῶν Ισ- 47
ραηλ ποιήσει αὐτό. [48]ἐὰν δέ τις προσέλθῃ πρὸς ὑμᾶς προσήλυτος 48
ποιῆσαι τὸ πασχα κυρίῳ, περιτεμεῖς αὐτοῦ πᾶν ἀρσενικόν, καὶ τότε
προσελεύσεται ποιῆσαι αὐτὸ καὶ ἔσται ὥσπερ καὶ ὁ αὐτόχθων τῆς
γῆς· πᾶς ἀπερίτμητος οὐκ ἔδεται ἀπ' αὐτοῦ. [49]νόμος εἷς ἔσται τῷ 49
ἐγχωρίῳ καὶ τῷ προσελθόντι προσηλύτῳ ἐν ὑμῖν. [50]καὶ ἐποίησαν 50
οἱ υἱοὶ Ισραηλ καθὰ ἐνετείλατο κύριος τῷ Μωυσῇ καὶ Ααρων πρὸς
αὐτούς, οὕτως ἐποίησαν. — [51]καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξή- 51
γαγεν κύριος τοὺς υἱοὺς Ισραηλ ἐκ γῆς Αἰγύπτου σὺν δυνάμει αὐτῶν.

[1]Εἶπεν δὲ κύριος πρὸς Μωυσῆν λέγων [2]Ἁγίασόν μοι πᾶν πρω- 13
τότοκον πρωτογενὲς διανοῖγον πᾶσαν μήτραν ἐν τοῖς υἱοῖς Ισραηλ
ἀπὸ ἀνθρώπου ἕως κτήνους· ἐμοί ἐστιν.

[3]Εἶπεν δὲ Μωυσῆς πρὸς τὸν λαόν Μνημονεύετε τὴν ἡμέραν 3
ταύτην, ἐν ᾗ ἐξήλθατε ἐκ γῆς Αἰγύπτου ἐξ οἴκου δουλείας· ἐν γὰρ
χειρὶ κραταιᾷ ἐξήγαγεν ὑμᾶς κύριος ἐντεῦθεν· καὶ οὐ βρωθήσεται
ζύμη. [4]ἐν γὰρ τῇ σήμερον ὑμεῖς ἐκπορεύεσθε ἐν μηνὶ τῶν νέων. 4
[5]καὶ ἔσται ἡνίκα ἐὰν εἰσαγάγῃ σε κύριος ὁ θεός σου εἰς τὴν 5
γῆν τῶν Χαναναίων καὶ Χετταίων καὶ Ευαίων καὶ Γεργεσαίων καὶ
Αμορραίων καὶ Φερεζαίων καὶ Ιεβουσαίων, ἣν ὤμοσεν τοῖς πα-
τράσιν σου δοῦναί σοι, γῆν ῥέουσαν γάλα καὶ μέλι, καὶ ποιήσεις

40 παροικησις et παρωκησαν A | χανααν B†] + αυτοι και οι πατερες αυτων A | τριακοντα] + πεντε B*†: item in 41 || 41 και εγεν.] εγ. δε A† || 42 νυκτος > A* || 43 λεγων > A || 44 παν] παντα AB$^c$: cf. Gen. 1 29 | τινος > B† | η] και A: item in 45 || 46 και $1^0$] ου καταλειψετε απο των κρεων εις το πρωι A: cf. 10 || 47 αυτο] τουτο A† || 48 ποιησαι $1^0$] και ποιη A | και ult. > A || 49 προσελθ. προσηλυτω] προσηλυτω τω προσκειμενω A† || 50 προς αυτους > A

13 2 διανοιγον] pr. και A† || 3 εκ γης] εξ A || 5 ευαιων — ιεβευσαιων] αμορραιων και ευαιων και ιεβουσαιων και γεργεσαιων και φερεζαιων A: item *O* (και γεργ. και φερεζ. sub ÷)